ἐπὶ τοῖς ὀνόμασι, πλουσιώτερος εἰς τὸ γῆρας ἀναφανήσῃ
33 φρονήσεως.“ ἀκούσατε δὲ καὶ ἐν τῷ πέμπτῳ τῆς Πολιτείας οἷά φησιν· „τούτους οὖν ἅπαντας καὶ τοὺς ἄλλους τοιούτων τινῶν μαθηματικοὺς καὶ τοὺς τῶν τεχνυδρίων φιλοσόφους θήσομεν; οὐδαμῶς, εἶπον, ἀλλ᾽ ὁμοίους φιλοσόφοις. τοὺς δ᾽ ἀληθινούς, ἔφη, τίνας λέγεις; τοὺς τῆς ἀληθείας, ἦν δ᾽ ἐγώ, φιλοθεάμονας. οὐ γὰρ ἐν γεωμετρίᾳ, αἰτήματα καὶ ὑποθέσεις ἐχούσῃ, φιλοσοφία, οὐδ᾽ ἐν μουσικῇ, στοχαστικῇ γε οὔσῃ, οὐδ᾽ ἐν ἀστρονομίᾳ, φυσικῶν καὶ ῥεόντων καὶ εἰκότων βεβυσμένῃ λόγων, ἀλλ᾽ αὐτοῦ τἀγαθοῦ δι᾽ ἐπιστήμης
34 καὶ τῆς ἀληθείας.“ ἀκούσατε, ὦ ἄνδρες, τοῦ φιλοσόφου τοὺς μὲν τῆς μουσικῆς καὶ τῆς γεωμετρίας καὶ τῶν ἄλλων τῶν τοιούτων ἐπιστήμονας οὐ φιλοσόφους, ἀλλ᾽ ὁμοίους φιλοσόφοις προσαγορεύσαντος, τοὺς δὲ τῆς ἀληθείας διδασκάλους
35 ἀληθινοὺς ὄντως ὀνομάσαντος φιλοσόφους. καὶ ἐν τῷ τρίτῳ δὲ τῶν Νόμων ταῦτά φησιν· „τοῦτο μὲν τοίνυν οὕτω κείσθω δεδογμένον καὶ λεγόμενον, ὡς τοῖς ταῦτα ἀμαθαίνουσι τῶν πολιτῶν οὐδὲν ἐπιτρεπτέον ἀρχῆς ἐχόμενον καὶ ὡς ἀγνοοῦσιν ὀνειδιστέον, κἂν πάνυ λογιστικοὶ ὦσι καὶ πάντα κομψὰ καὶ ὅσα πρὸς αὔξην τῆς ψυχῆς πεφυκότα διαπεπονημένοι ἅπαντα· τοὺς δὲ τοὐναντίον ἔχοντας, τούτους ὡς σοφούς τε προσρητέον, κἂν, τὸ λεγόμενον, μήτε γράμματα μήτε νεῖν ἐπίστωνται, καὶ τὰς ἀρχὰς ἐγχειριστέον ὡς ἔμφροσιν.“